UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

XL. De sepultura Imp. Constantini.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

ἕκαστον κατὰ δεκάδα ἐνιαυτῶν τῆς βασιλείας αὐτοῦ. τὸν μὲν πρῶτον, ὁμώνυμον ἑαυτοῦ κωνσταντῖνον, τῶν ἑσπερίων μερῶν ἄρχειν καταστήσας ἐν τῇ πρώτῃ δεκάδι τῆς βασιλείας αὐτοῦ. τὸν δὲ πρὸς τῇ ἑῴᾳ μερῶν, τὸν τῷ πάππῳ ἐπώνυμον κωνστάντιον ἐν τῇ εἰκοσαετηρίδι καθέστησε καίσαρα· τὸν δὲ νεώτερον κώνσταντα, ἐν τῇ τριακονταετηρίδι τῆς ἑαυτοῦ βασιλείας ἐχειροτόνησεν·

A Singulos singulis imperii sui decennalibus promovens. Et maximum quidem natu, cognominem sibi Constantinum, Occidentalium partium imperio præfecit, primo principatus sui decennio. Alterum verò Constantium, avi sui nomine appellatum, Orientis partibus præposuit, anno Imperii sui vicesimo. Natu minimum Constantem, tricennalibus suis Cæsarem renuntiavit.

## Κεφ. λθ'.

Ὡς ὁ βασιλεὺς ἀῤῥωστίᾳ περιπεσὼν, τέλει τοῦ βίου ἐχρήσατο.

Ἐνιαυτοῦ δὲ μετὰ ταῦτα παραδραμόντος, ἐπιβὰς ἑξηκονταπέντε ἐνιαυτῶν ὁ βασιλεὺς κωνσταντῖνος, ἀῤῥωστίᾳ περιπίπτει. καὶ ἐκ τῆς κωνσταντίνου πόλεως ἐκπλεῖ ἐπὶ τὴν ἑλενούπολιν, ὡς φυσικοῖς θερμοῖς χρησόμενος τοῖς ἐκεῖ γειτνιάζουσιν· ἐπεὶ δὲ σφοδροτέρου τοῦ νοσήματος ᾔσθετο, τὰ μὲν λουτρὰ ὑπερέθετο. ἀπαίρει δὲ ἐκ τῆς ἑλενουπόλεως εἰς τὴν νικομήδειαν· κἀκεῖ ἐν προαστείῳ διάγων, τοῦ χριστιανικοῦ μεταλαμβάνει βαπτίσματος· εὔθυμος δὲ ἐπὶ τούτῳ γενόμενος, διαθήκας ποιεῖται, ἐν αἷς τοὺς μὲν τρεῖς υἱοὺς κληρονόμους τῆς βασιλείας ἐνίσταται, καθὰ καὶ ζῶν αὐτοῖς τοὺς κλήρους διένειμε· πολλὰ δὲ τῇ ῥωμαίων πόλει καὶ τῇ ἑαυτοῦ ἐπωνύμῳ πρεσβεῖα καταλιπὼν, τὰς διαθήκας ἐκείνῳ παρατίθεται τῷ πρεσβυτέρῳ, δι' ὅνπερ ἄρειος ἀνακέκληται, οὗ καὶ μικρὸν ἔμπροσθεν πεποιήμεθα μνήμην· ἐντειλάμενος μηδενὶ ἑτέρῳ, ἢ τῷ υἱῷ τῷ τῆς ἀνατολῆς ἄρχοντι κωνσταντίῳ, εἰς τὰς χεῖρας βαλεῖν. μετὰ δὲ τὸ θέσθαι τὰς διαθήκας, ὀλίγας ἡμέρας ἐπιβιοὺς, τὸν βίον ἀπέλιπε· τῶν μέντοι υἱῶν αὐτοῦ ἐπὶ τῇ τελευτῇ παρῆν οὐδείς. πέμπεται οὖν εὐθὺς πρὸς τὴν ἑῴαν, ὁ κωνσταντίῳ μηνύσων τὴν τελευτήν·

## CAPUT XXXIX.

*Quomodo Imp. in morbum delapsus, finem vivendi fecit.*

B Anno post Imperator Constantinus quintum & sexagesimum ætatis ingressus annum, in morbum incidit. Relictâ ergo Constantinopoli, navigio delatus est Helenopolim, ut aquis calidis, quæ juxta urbem illam sitæ sunt, uteretur. Sed cum morbum ingravescere sensisset, lavacrum quidem distulit. Helenopoli autem abscedens, Nicomediam profectus est. Illic in suburbano degens, Christianum baptisma suscepit. Quo
C vehementer exhilaratus, testamentum condit, in quo tres quidem liberos Imperii heredes instituit, suam cuique partem, prout vivus fecerat, assignans. Romæ vero & urbi, quam suo nomine Constantinopolim nuncuparat, multa relinquens privilegia, testamentum commendat presbytero illi, cujus antea fecimus mentionem, per quem Arius ab exilio fuerat revocatus. Mandatque ne cuiquam alteri quàm filio suo Constantio, quem Orienti præfecerat, illud in manus traderet. Ad hunc modum condito testamento, cum aliquot dies supervixisset, ex hac luce migravit. Porro morti ejus nullus ex filiis interfuit. Mittitur itaque protinus in Orientem, qui
D Constantio patris obitum nuntiaret.

## Κεφ. μ'.

Περὶ τῆς κηδείας τοῦ βασιλέως κωνσταντίνου.

Τὸ δὲ σῶμα τοῦ βασιλέως οἱ ἐπιτήδειοι χρυσῇ ἐνθέμενοι λάρνακι, ἐπὶ τὴν κωνσταντίνου πόλιν διεκόμισαν· ἀπέθεντό τε ἐν τοῖς βασιλείοις ἐφ' ὑψηλοῦ, καὶ διὰ τιμῆς ἦγον καὶ δορυφορίας πολλῆς ὡς καὶ ζῶντος ἐγίνετο· καὶ τοῦτο ἐποίουν ἕως τίς τῶν υἱῶν αὐτοῦ παραγένηται· μετὰ δὲ ταῦτα ἐκ τῶν ἀνατολικῶν μερῶν ἐπιστάντος κωνσταντίου, κηδείας τῆς βασιλικῆς

## CAPUT XL.

*De sepultura Imperatoris Constantini.*

Corpus vero Imperatoris, aureo conditum loculo, necessarii Constantinopolim deportarunt, & in sublimi suggestu collocaverunt in palatio; maximo honore & frequenti satellitio illum quasi adhuc superstitem observantes, quoad usque ex filiis ejus quispiam advenisset. Postea verò cum Constantius ex Orientis partibus advolasset, re-

giâ honoratus est sepultura, depositusque in Ecclesia Apostolorum, quam ipse eo consilio ædificaverat, ut Imperatores & Pontifices ab Apostolorum reliquiis haud procul abessent. Vixit autem Imperator Constantinus annos quinque & sexaginta: ex quibus unum & triginta imperavit. Mortuus est Feliciano & Titiano Consulibus, die undecimo Calendas Junii: qui quidem secundus erat annus olympiadis ducentesimæ septuagesimæ octavæ. Cæterum hic liber spatium unius & triginta annorum complectitur.

A ἠξιοῦτο, ἀποτεθεὶς ἐν τῇ ἐκκλησίᾳ τῇ ἐπωνύμῳ τῶν ἀποστόλων· ἣν δι᾽ αὐτὸ τοῦτο πεποιήκει, ὅπως οἱ βασιλεῖς τε καὶ ἱερεῖς τῶν ἀποστολικῶν λειψάνων μὴ ἀπολιμπάνοιντο. ἔζησε δὲ ὁ βασιλεὺς κωνσταντῖνος ἔτη ἑξήκοντα πέντε· ἐβασίλευσε δὲ ἔτη τριάκοντα ἕν· ἐτελεύτησε δὲ ἐν ὑπατίᾳ φιλικιανοῦ καὶ τατιανοῦ, τῇ δευτέρᾳ καὶ εἰκάδι τοῦ μαΐου μηνός· τοῦτο δὲ ἦν δεύτερον ἔτος τῆς διακοσιοστῆς ἑβδομηκοστῆς ὀγδόης ὀλυμπιάδος· περιέχει δὲ ἡ βίβλος χρόνον ἐτῶν ἑνὸς πρὸς τοῖς τριάκοντα.

## Τάδε ἔνεστιν ἐν τῷ δευτέρῳ βιβλίῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας Σωκράτους.

α΄. Προοίμιον, δι᾽ ἣν αἰτίαν τὸ πρῶτον καὶ τὸ δεύτερον βιβλίον ἄνωθεν ἐλέχθη.

β΄. Ὡς οἱ περὶ εὐσέβιον τὸν νικομηδείας ἐπίσκοπον, αὖθις τὸ ἀρείου σπουδάσαντες εἰσαγαγεῖν δόγμα, ταραχὰς ταῖς ἐκκλησίαις ἐκίνησαν.

γ΄. Ὅπως ἀθανάσιος κωνσταντίνου τοῦ νεωτέρου γράμμασι θαρρήσας, τὴν ἀλεξάνδρειαν κατέλαβεν.

δ΄. Ὡς τελευτήσαντος εὐσεβίου τοῦ παμφίλου, ἀκάκιος τὴν ἐπισκοπὴν καισαρείας διεδέξατο.

ε΄. Περὶ τῆς κωνσταντίνου τοῦ νεωτέρου τελευτῆς.

ς΄. Ὡς ἀλέξανδρος ὁ κωνσταντίνου πόλεως ἐπίσκοπος τελευτῶν, ὑπόψηφον πεποίηκε παῦλον, καὶ μακεδόνιον.

ζ΄. Ὡς ὁ βασιλεὺς κωνστάντιος παῦλον τὸν προβληθέντα ἐπίσκοπον ἐκβαλλεῖ· εὐσεβίῳ δὲ, ἐκ τῆς νικομηδείας μεταπεμφθέντι, τὴν ἐπισκοπὴν κωνσταντίνου πόλεως ἐνεχείρισεν.

η΄. Ὡς εὐσέβιος ἑτέραν σύνοδον ποιησάμενος ἐν ἀντιοχείᾳ τῆς συρίας, ἑτέραν ἔκθεσιν πίστεως ὑπαγορευθῆναι ἐποίησε.

θ΄. Περὶ εὐσεβίου τοῦ ἐμισηνοῦ.

ι΄. Ὡς οἱ ἐν ἀντιοχείᾳ συνελθόντες ἐπίσκοποι, διὰ τὸ παραιτήσασθαι τὴν ἀλεξάνδρειαν εὐσέβιον τὸν ἐμισηνὸν, γρηγόριον χειροτονήσαντες, τὴν τῆς ἐν νικαίᾳ πίστεως φράσιν ἐπεποίησαν.

ια΄. Ὡς γρηγορίου μετὰ χειρὸς στρατιωτικῆς εἰς ἀλεξάνδρειαν κατελθόντος, ἀθανάσιος ἔφυγεν.

ιβ΄. Ὡς εὐσεβίου τελευτήσαντος, ὁ ἐν κωνσταντίνου πόλει λαὸς παῦλον αὖθις ἐνεθρόνισε· καὶ ὡς οἱ ἀρειανοὶ μακεδόνιον προεβάλλοντο.

ιγ΄. Περὶ τῆς ἑρμογένους τοῦ στρατηλάτου ἀναιρέσεως· καὶ ὅπως πάλιν διὰ τοῦτο ἐξεώσθη παῦλος τῆς ἐκκλησίας.

ιδ΄. Ὅτι οἱ ἀρειανοὶ. γρηγόριον τῆς ἀλεξανδρείας μεταστήσαντες, γεώργιον ἀπέστειλαν.

ιε΄. Ὡς ἀθανάσιος καὶ παῦλος εἰς τὴν ῥώμην παραγενόμενοι, καὶ γράμμασιν ὀχυρωθέντες τοῦ ἐπισκόπου ἰουλίου, κατέλαβον αὖθις τοὺς ἰδίους θρόνους.

ις΄. Ὡς ὁ βασιλεὺς παρεσκεύασε διὰ φιλίππου τοῦ ἐπάρχου, ἐξωθῆναι τὸν παῦλον, καὶ εἰς ἐξορίαν πεμφθῆναι, μακεδόνιον δὲ ἐνθρονισθῆναι.